www.tezaurliturgic.ro

+

# ΕΥΧΑΡΙΣΤΗΡΙΟΣ ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΑΓΙΟΥ

# ΕΝΔΟΞΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ

# ΜΗΝΑ ΤΟΥ ΘΑΥΜΑΤΟΥΡΓΟΥ

## ΕΠΙ ΤΗι ΘΑΥΜΑΤΟΥΡΓΙΚΗι ΔΙΑΣΩΣΕΙ ΤΩΝ ΠΙΣΤΩΝ ΑΠΟ ΤΗΣ ΣΦΑΓΗΣ ΤΩΝ ΤΟΥΡΚΩΝ ΕΝ ΗΡΑΚΛΕΙΩι ΚΡΗΤΗΣ ΚΑΤΑ ΤΟ ΠΑΣΧΑ ΤΟΥ ΕΤΟΥΣ 1826

᾿Ανεπληρώθη κατὰ τὰ ἐλλείποντα ἐν ῾Αγίῳ ῎Ορει τοῦ ῎Αθωνος

* 2000 *

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro





## ΤΗι ΤΡΙΤΗι ΤΗΣ ΔΙΑΚΑΙΝΗΣΙΜΟΥ ΣΥΜΨΑΛΛΕΤΑΙ Η ΕΥΧΑΡΙΣΤΗΡΙΟΣ ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΥΠΕΡΦΥΟΥΣ ΘΑΥΜΑΤΟΣ ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΜΗΝΑ ΕΝ ΗΡΑΚΛΕΙΩι ΚΡΗΤΗΣ

* * *

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

*Εἰς τό, Κύριε ἐκέκραξα, ψάλλομεν δ΄ στιχηρὰ ἀναστάσιμα τοῦ γ΄ἦχου καὶ εἶτα τὰ δ΄ προσόμοια τοῦ Ἁγίου, ὧν τὰ δύο τελευταῖα νεοσύνθετα.*

**Ἦχος πλ.α΄. Χαίροις ἀσκητικῶν.**

Χαίροις ἀσκητικῶν ἀληθῶς,
καὶ μαρτυρίου τὸν διπλοῦν μάρτυς στέφανον,
λαβὼν παρὰ τοῦ Κυρίου,
καὶ τῆς ἀφθάρτου ζωῆς,
καὶ ἀγήρω δόξης ἐμφορούμενος,
ἡμᾶς τοὺς γεραίροντας,
τὴν Χριστοῦ θείαν ἔγερσιν,
σὺν τῇ σεπτῇ σου,
πανηγύρει πολύαθλε,
καὶ τιμῶντάς σε ὡς προστάτην καὶ φύλακα,
ῥύου ἐκ πάσης θλίψεως,
ὡς πάλαι διέσωσας,
ἐκ τῆς σφαγῆς τῶν βαρβάρων,
τοὺς εὐσεβεῖς ἐν τῷ οἴκῳ σου·
Χριστὸν ἱκετεύων,
τὸν ἐκ τάφου ἀναστάντα,
ἐπὶ τὸ σῶσαι ἡμᾶς.

Δεῦτε πνευματικῶς ἀδελφοί,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ἐν τῷ ναῷ τοῦ πολιούχου χορεύσωμεν,
ἐντὸς αὐτοῦ λυτρωθέντες,
τῆς παρανόμου σφαγῆς,
κατὰ τὴν ἡμέραν τῆς ἐγέρσεως,
Χριστοῦ τοῦ παντάνακτος,
ἱκεσίαις τοῦ Μάρτυρος,
καὶ σὺν ἐπαίνοις,
καὶ ᾠδαῖς εὐφημήσωμεν,
τὸν ἡμέτερον ἀρωγόν τε καὶ φύλακα,
πάντες ἀνακραυγάζοντες,
αὐτῷ μετὰ πίστεως·
μάρτυς Μηνᾶ ἀθληφόρε,
τῶν σὲ τιμώντων μνημόνευε,
Θεὸν ἱκετεύων,
δωρηθῆναι ἡμῖν πᾶσι τὸ μέγα ἔλεος.

Ὅτε ὁ τῆς δουλείας ζυγός,
ἐν νήσῳ Κρήτῃ ἐπεκράτει ὁ σκότιος,
καὶ θεία ἐπετελεῖτο,
Πάσχα Χριστοῦ ἑορτή,
ζήλῳ ἀρχεκάκου βουλὴ γέγονεν,
προπάτορας ἅπαντας,
κατοικοῦντας Ἡράκλειον,
οἰκτρῶς σφαγῆναι,
ἐν ναῷ θείου Μάρτυρος,
ἔνθα ηὔχοντο τὸ κακὸν μὴ γινώσκοντας·
τότε Μηνᾶς ὁ ἔνδοξος,
τὰ στίφη διέλυσεν,
δυσσεβεστάτων δημίων,
καὶ τοὺς πιστοὺς ἐλυτρώσατο·
διὸ ἡμεῖς χρέος,
ἐξοφλοῦντες τοῦτον ὕμνοις,
φαιδρῶς δοξάζομεν.

Χαίρει τὸ Μέγα Κάστρον φαιδρῶς,
μέγα προστάτην σὲ πλουτοῦν Μάρτυς ἔνδοξε,
καὶ ῥύστην ἐν τοῖς κινδύνοις,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

καὶ πειρασμοῖς καὶ δεινοῖς,
λυτρωτήν τε θεῖον πάσης θλίψεως,
καὶ ὕμνους προσάγει σοι
ὦ Μηνᾶ τρισμακάριστε,
καὶ ἐξαιτεῖται
εἰς αἰῶνα τὸν ἅπαντα,
τὰς πρὸς Κύριον,
προσευχὰς καὶ δεήσεις σου,
ὅπως τὸ βίου πέλαγος,
διέλθῃ ἀκύμαντον,
ἐν ἀταράχῳ εἰρήνῃ,
καὶ εὐλαβείᾳ θεόφρονι,
δοξάζον ἐν πόθῳ,
τὸν ἐκ τάφου Ἀναστάντα,
Χριστὸν Φιλάνθρωπον.

**Δόξα. Ἦχος γ'.**

Σήμερον τῶν Κρητῶν ἡ μητρόπολις,
συνεορτάζει φαιδρῶς τῇ λαμπροφόρῳ τοῦ Χριστοῦ ἀναστάσει,
τὴν πάνσεπτόν σου ἑορτὴν Μηνᾶ πανσεβάσμιε·
διὸ μὴ παύσῃ ἀδιαλείπτως περισῴζων ἡμᾶς,
τοὺς ἐτησίως λιτανεύοντας τὴν σὴν θαυματουργίαν,
μεγάλην κεκτημένος παῤῥησίαν πρὸς Χριστόν,
τὸν διὰ μεγίστων θαυμασίων σε δοξάσαντα.

**Καὶ νῦν. Πῶς μὴ θαυμάσωμεν...**

**Εἴσοδος. Φῶς ἱλαρόν.**
**Προκείμενον· ἦχος βαρύς.**

Ὁ Θεὸς ἡμῶν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ, πάντα ὅσα ἠθέλησεν ἐποίησεν.

Στίχος· *Ἡ θάλασσα εἶδε καὶ ἔφυγεν, ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω.*



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Στίχος· *Τί σοι ἔστι θάλασσα ὅτι ἔφυγες, καὶ σοὶ Ἰορδάνη, ὅτι ἐστράφης εἰς τὰ ὀπίσω;*

Ἀναγνώσματα, τὰ μαρτυρικά· βλέπε ἐν τῇ κγ' Ἀπριλίου.

**ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ**

*Ψάλλομεν στιχηρὰ ἰδιόμελα.*

**Ἦχος α'.**

Φαιδρύνεται σήμερον ἡ κτίσις ἅπασα
ἐν τῇ κοσμοχαρμοσύνῳ Ἀναστάσει τοῦ Σωτῆρος,
τὸν φόβον τοῦ αἰωνίου θανάτου ἀποβαλοῦσα·
φαιδρύνεται καὶ τὸ Μέγα Κάστρον τῆς Κρήτης λαμπρότερον,
ὅτι τῆς παραδόξου σωτηρίας ἐκ τῆς θεομισοῦς
σφαγῆς τῶν ἀγαρηνῶν τὸ πάλαι ἔτυχε,
τῇ ἐπεμβάσει τοῦ μεγαλομάρτυρος τοῦ Κυρίου Μηνᾶ.
Εὐχαριστήρια οὖν ἀναπέμπον αὐτῷ χρεωστικῶς
ἐξαιτεῖται τὴν ἀκαταίσχυντον αὐτοῦ πρεσβείαν πρὸς τὸν Δεσπότην,
καὶ σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

**Ἦχος β'.**

Τῷ μίσει τῶν δυσσεβῶν ἀπίστων ἡ φιλάδελφος ἀγάπη
τοῦ Μεγαλομάρτυρος Μηνᾶ ἀντιτεθεῖσα,
διέλυσεν ὡς ἀράχνης τεχνούργημα τὸ μισάνθρωπον σχέδιον,
καὶ τοὺς ἀθώους Ἡρακλειώτας παραδόξως ἐῤῥύσατο
τῆς ἐκ τῶν ἀγαρηνῶν ἀναιτίου σφαγῆς·
ὅθεν τὸ θαυματούργημα ὁμολογοῦντες,
ἐν ὕμνοις ἐξοφλοῦμεν τὸ χρέος τῶν προγόνων ἡμῶν,
αἰτούμενοι παρὰ τοῦ Ἀναστάντος ἀσάλευτον εἰρήνην,
καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

**Ἦχος γ'.**

Τῷ ταχυπτέρῳ ἵππῳ σου ἐπιβαίνων μακάριε,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

μὴ διαλίπῃς φρουρεῖν ἡμᾶς,
ἐκ πάσης δαιμονικῆς ἐπηῤῥείας,
καὶ τοῦ μισοψύχου ἐχθροῦ διαλύων ὡς ὄναρ τὰς πάγας,
ἐνίσχυσον πάντας τοὺς εὐσεβεῖς Μηνᾶ μεγαλομάρτυς,
ἀκλινῶς πορεύεσθαι τὴν ζωηφόρον ὁδόν,
τοῦ ᾿Αναστάντος Σωτῆρος καὶ Δεσπότου ἡμῶν.

**῏Ηχος δ'.**

Τὴν ἐν κινδύνοις ἀναπόφευκτον τοῦ πλάσματός σου συντριβήν,
οἶδας Φιλάνθρωπε Δέσποτα ποικίλοις τρόποις διαλύειν,
καὶ φανεροῦν ἑκάστοτε τὰ σπλάγχνα τῆς πατρικῆς σου στοργῆς·
οὕτω καὶ τὸν μεγαλομάρτυρά σου Μηνᾶ ἄγγελον ἐξαπέστειλας σωτηρίας,
ἀπὸ τῆς ἀναιτίου σφαγῆς τῶν ῾Ηρακλειωτῶν·
οἵτινες λυτρωθέντες δι᾿ ἡμῶν ἀναστασίμοις ὕμνοις δοξάζουσι,
σὲ τὸν ἀπείρως δοξάζοντα τοὺς ῾Αγίους σου πάντοτε.

**Δόξα. Καὶ νῦν. ῏Ηχος πλ.α'.**

Τὸν ἀρχηγὸν τῆς σωτηρίας ἡμῶν Χριστὸν ἐκμιμούμενος μεγαλομάρτυς ἔνδοξε Μηνᾶ,
τὸν ἐκ φθορᾶς τοῦ θανάτου λυτρωσάμενον τὸ γένος τῶν ἀνθρώπων,
τὰ πλήθη τῶν χριστωνύμων ῾Ηρακλειωτῶν θαυμαστῶς διέσωσας
ἐκ τῆς ὀλεθροτόκου σφαγῆς τῶν ἀσεβούντων·
ὅθεν ἐν ταύτῃ τῇ χαρμοσύνῳ ἡμέρᾳ,
τοὺς εὐχαριστηρίους ὕμνους καὶ τὰ ὀφειλόμενα ἐπινίκια πρόσδεξαι,
καὶ πρέσβευε τῷ Φιλανθρώπῳ Δεσπότῃ,
ὅπως ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ διατηρῶν ἡμᾶς,
ἀξιώσῃ καὶ τῆς ἀσαλεύτου στάσεως ἐν τῇ ἐπουρανίῳ ῾Ιερουσαλήμ.

**ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ**

῾Ο τῷ πάθει σου Χριστέ, εἶτα· Πάσχα ἱερόν...


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

**Δόξα, τοῦ Ἁγίου. Ἦχος πλ.α'.**

Σήμερον συγκαλεῖται ἡμᾶς Μηνᾶς ὁ ἀθλοφόρος,
πανηγυρίσαι λαμπρῶς ἐν τῷ σεπτῷ αὐτοῦ τεμένει,
τὴν ζωηφόρον Ἀνάστασιν·
δεῦτε λοιπόν ἀδελφοί, ὡς ἐν εὐσήμῳ ἡμέρᾳ ἑορτῆς δοξολογήσωμεν
τὸν Κύριον, τὸν ἀναστάντα ἐκ νεκρῶν,
καὶ ἐνδοξαζόμενον ἐν ταῖς μνείαις τῶν ἁγίων αὐτοῦ.

**Καὶ νῦν. Ἀναστάσεως ἡμέρα...**

**Ἀπολυτίκιον τοῦ Ἁγίου.**

Ἦχος πλ.α'. Τὸν συνάναρχον Λόγον.

Ἀσκητῶν ταῖς χορείαις συναυλιζόμενος,
καὶ μαρτύρων τοῖς δήμοις συναγαλλόμενος,
στρατιῶτα τοῦ Χριστοῦ Μηνᾶ καρτερικώτατε,
διασῴζεις ἀληθῶς τοὺς ἐκτελοῦντάς σου πιστῶς,
τὴν μνήμην τὴν φωτοφόρον,
ἣν εὐγνωμόνως τελοῦμεν,
ἐνιαυσίως διὰ τὸ θαῦμά σου.

ἢ τὸ παρὸν ὁμόηχον
Τὸν φρουρὸν Ἡρακλείου δεῦτε νῦν ἅπαντες,
Ὀρθοδόξων τε ἅμα τὸν ἀντιλήπτορα,
εὐφημήσωμεν πιστοὶ Μηνᾶν τὸν ἔνδοξον,
ὅτι κατῄσχυνε λαμπρῶς τὰς ὀρδὰς τῶν ἀσεβῶν,
συντρίψας τούτων τὰ τόξα·
πρεσβεύει δὲ τῷ Κυρίῳ,
ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ τό, Χριστὸς ἀνέστη
καὶ Ἀπόλυσις.

**ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ**



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Μετὰ τό, Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ...τό, Χριστὸς ἀνέστη μετὰ τῶν στίχων. Εἶτα ἡ μεγάλη συναπτὴ καί, εἰ βούλει, Πολυέλεος, μεθ᾽ ὃν

**Καθίσματα. Ἦχος α'. Τὸν τάφον σου Σωτήρ.**

Ἐῤῥύσατο Σωτὴρ τῶν ἀνθρώπων τὸ γένος,
ἐκ τάφου ἐγερθείς καὶ τὸν ᾅδην σκυλεύσας,
Μηνᾶς δὲ ὁ πάντιμος,
ἐκ σφαγῆς Κρῆτας ἔσωσεν,
καὶ ἐνέσπειρε ψυχαῖς ἀπίστων τόν φόβον,
ὅθεν σήμερον,
εὐγνωμοσύνης τοὺς ὕμνους,
ἡμῶν ἀποδέχεται.

**Δόξα. Ὅμοιον.**

Φιλάδελφος φανείς ὦ Μηνᾶ χριστομάρτυς,
διέσωσας πιστούς, ἐκ θανάτου βεβαίου,
καὶ θάμβους ἐνέπλησας
εὐσεβεῖς τῷ σῷ θαύματι,
ὅθεν πόλις σε
τοῦ Ἡρακλείου γεραίρει,
καὶ εὐφραίνεται ἐπιτελοῦσα τὴν μνήμην,
ἐν θείῳ τεμένει σου.

**Καὶ νῦν. Ὅμοιον.**

Ὡς μύρα τῷ Χριστῷ αἱ γυναῖκες ἐν τάφῳ,
ἐλθοῦσαι τὸ πρωΐ ἐξ ἀγάπης προσῆγον,
ἡμεῖς ὕμνους Ἅγιε,
τῇ σῇ μνήμῃ προσφέρομεν,
ἐξαιτούμενοι
ἁμαρτημάτων τὴν λύσιν,
καὶ ἀκλόνητον σὴν ἀῤῥαγῆ προστασίαν,
Μηνᾶ πολυθαύμαστε.

Εἶτα τὸ α' ἀντίφωνον τοῦ δ' ἤχου· *Ἐκ νεότητός μου.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Προκείμενον· *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.*
Στίχος· *Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.*
**Εὐαγγέλιον·** *τὸ ἐν τῷ ὄρθρῳ τοῦ ἁγίου Γεωργίου.*
Ἀνάστασιν Χριστοῦ θεασάμενοι.
Δόξα. *Ταῖς τοῦ ἀθλοφόρου.*
Καὶ νῦν. *Ταῖς τῆς Θεοτόκου.*
εἶτα εἰς ἦχον β'
Στίχ. *Ἐλεησόν με ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου...*
*Πρὸς τό· Ἀναστὰς ὁ Ἰησοῦς.*

Ὁ ἐκ τάφου Ἀναστάς,
πιστοὺς θανάτου,
ἔσωσε Μηνᾶν,
ἀποστείλας θαυμαστῶς,
μεγαλομάρτυρα.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου...

Πρῶτον ψάλλεται ὁ ἀναστάσιμος κανὼν
καὶ εἶτα ὁ παρὼν νεοσύνθετος, πλὴν τῆς θ'ᾠδῆς, τοῦ Ἁγίου Μηνᾶ.

**Ὠιδὴ α'. Ἦχος α'. Ἀναστάσεως ἡμέρα.**

Ἀναστάσεως ἡμέρα λαμπρυνθῶμεν λαοί,
πόλις δὲ Ἡρακλείου,
τὸν πολιοῦχον καὶ φρουρὸν,
ἑαυτῆς θεῖον Μηνᾶν ᾠδαῖς χαρμονῆς,
ὑμνείτω γεραίρουσα,
τὸ αὐτοῦ θαυματούργημα.

Καθαρθῶμεν τὰς αἰσθήσεις καὶ ὀψόμεθα,
τὸν ἀναστάντα Δεσπότην τοῦ μνήματος,
καὶ Μηνᾶν τιμήσωμεν,
ἐνθέοις μελωδήμασι,
τοὺς ἡμῶν προπάτορας,
ἐκ σφαγῆς διασώσαντα.

Οὐρανοὶ μὲν ἐπαξίως εὐφραινέσθωσαν,
πλέον δὲ νῆσος Κρήτη,
ὁ στρατιώτης γὰρ Χριστοῦ,
ἐπεμβὰς θείᾳ ὀμφῇ ὀρδὰς ἀσεβῶν,
ὡς νέφος διέλυσε,
καὶ πιστοὺς ἐλυτρώσατο.

**Καταβασία.** Ἀναστάσεως ἡμέρα.

*Εἶτα τό, Χριστὸς ἀνέστη ἐκ γ΄.*
*καὶ τό, Ἀναστὰς ὁ Ἰησοῦς.*
*Ἐκφώνησις· Ὅτι σὸν τὸ κράτος.*

**Ὠιδὴ γ΄. Δεῦτε πόμα πίωμεν.**

Δεῦτε Κρῆτες στήσωμεν χορόν,
καὶ Κυρίου τὸν μάρτυρα ἐπαινέσωμεν,
Μηνᾶν θαυμάτων πηγήν,
ἐκβλύζοντα πᾶσι τοῖς πιστῶς,
προστρέχουσι θαύματα.

Νῦν πάντα πεπλήρωται χαρᾶς,
Ἡρακλείου δὲ πόλις ὑπεραγάλλεται,
ᾠδαῖς γεραίρουσα τοῦ ἐνδόξου,
Μηνᾶ χριστοαθλητοῦ,
κλεινὸν θαυματούργημα.

Χθὲς συνεθαπτόμην σοι Χριστέ,
συνεγείρομαι σήμερον ἀγαλλόμενον,
διασωθὲν τῆς σφαγῆς,
Ἡράκλειον κράζει φαιδρῶς,
τὸ χριστοσημείωτον.

**Καταβασία.** Δεῦτε πόμα πίωμεν.

*Εἶτα τό, Χριστὸς ἀνέστη ἐκ γ΄.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*καὶ τό, Ἀναστὰς ὁ Ἰησοῦς.*
*Ἐκφώνησις· Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν.*

**Τὸ Κοντάκιον τοῦ Πάσχα·**

Εἰ καὶ ἐν τάφῳ κατῆλθες ἀθάνατε,
ἀλλὰ τοῦ ᾅδου καθεῖλες τὴν δύναμιν,
καὶ ἀνέστης ὡς νικητὴς Χριστὲ ὁ Θεός,
γυναιξὶν Μυροφόροις φθεγξάμενος· Χαίρετε,
καὶ τοῖς σοῖς Ἀποστόλοις εἰρήνην δωρούμενος,
ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.

**Κάθισμα τοῦ Ἁγίου. Ἦχος γ'. Τὴν ὡραιότητα.**

Υἱὸς γενόμενος, τῆς Ἀναστάσεως,
βασάνοις Ἅγιε θνητοῦ σου σώματος,
ἐξ ὧν ἀπείληφας μισθόν,
θαυμάτων τὰς ἐνεργείας·
ὅθεν πόλιν ἔσωσας,
Ἡρακλείου φιλόχριστον,
ἐκ σφαγῆς μακάριε,
ἐπεμβάσει τῇ θείᾳ σου,
διὸ καὶ εὐγνωμόνως ἀκούεις·
χαίροις Μηνᾶ κλέος μαρτύρων.

**Δόξα. Καὶ νῦν, ὅμοιον.**

Ἐν τῇ ἐγέρσει σου, ἡ κτίσις ἅπασα,
χαίρει Φιλάνθρωπε,
ὕμνους προσάγουσα,
ὅτι ἐξήγαγες αὐτήν,
θανάτου τοῦ αἰωνίου·
Κρήτης δὲ Ἡράκλειον,
ἔτι πλέον εὐφραίνεται,
συντιμῶσα Δέσποτα,
σὸν πανεύφημον μάρτυρα,
Μηνᾶν τὸν θαυματοβρύτην,

ὃς τοὺς προγόνους ἡμῶν διέσωσεν.

**᾿Ωιδὴ δ'. ᾿Επὶ τῆς θείας φυλακῆς.**

᾿Επὶ τῆς θείας φυλακῆς πάλαι προφήτης καθεσθείς,
εἶδε δόξαν Κυρίου·
῾Ηρακλειῶται δὲ πιστοί,
᾿Αναστάσεως φαιδρᾷ ἡμέρᾳ ὀμφήν,
Μηνᾶ ἐθεάσαντο,
ὃς σφαγῆς τούτους ἔσωσεν.

῎Αῤῥην μὲν ἀπήτητο ἀμνὸς πρὸς σφαγήν,
ἐκ Θεοῦ παρ᾿ ῾Εβραίων·
ὡς ἀμνὸς δὲ ἐχθροῖς πιστοὶ ἐνενόμισντο,
ἐπὶ σφαγὴν ὡς ἔρημοι ἐλπίδος,
ἑορτάζοντες Πάσχα·
ἀλλὰ Μηνᾶς ὁ κλεινός,
τούτους ἐῤῥύσατο.

῾Ως ἐνιαύσιος ἀμνὸς ῾Ηρακλειῶται οἱ πιστοί,
θάνατον ἑώρων ἀφεύκτως,
ἀλλὰ ὁ φιλάδελφος,
Μάρτυς Χριστοῦ προσέδραμε,
καὶ τρέψας εἰς φυγὴν τοὺς ἀνόμους,
χαρὰν μεγίστην Μηνᾶς προεξένησεν.

῾Ο θεοπάτωρ μὲν Δαβὶδ πρὸ τῆς σκιώδους κιβωτοῦ
ἥλατο σκιρτῶν·
῾Ηρακλείου δὲ λαὸς ὁ χριστόθεος,
τὴν σωτηρίαν Μηνᾶ ὁρῶντες,
εὐφροσύνῃ ἐνθέῳ,
χεῖρας κροτοῦμεν ἀεὶ Χριστὸν δοξάζοντες.

**Καταβασία.** ᾿Επὶ τῆς θείας φυλακῆς.



ΑΘΘΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Εἶτα τό, Χριστὸς ἀνέστη ἐκ γ΄.*
*καὶ τό, Ἀναστὰς ὁ Ἰησοῦς.*
*Ἐκφώνησις· Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος.*

**Ὠιδὴ ε΄. Ὀρθρίσωμεν ὄρθρου βαθέος.**

Ὀρθρίσωμεν ὄρθρου βαθέος,
Ἡρακλειῶται καὶ ὕμνους ἀναλαβόντες,
τὸν Χριστὸν δοξάσωμεν,
ῥυσάμενον προπάτορας,
δεινοῦ θανάτου ὡς εὔσπλαγχνος.

Τὴν ἄμετρόν σου εὐσπλαγχνίαν
οἱ τῆς δουλείας σειραῖς,
συγκλειόμενοι πιστοὶ Κρῆτες,
πρὸς σὲ ἦραν ὄμματα Χριστὲ ἐπικειμένης σφαγῆς,
καὶ τῆς λυτρώσεως ἔτυχον.

Προσέλθωμεν λαμπαδηφόροι
ἐν τῷ πανσέπτῳ ναῷ τοῦ Μεγαλομάρτυρος,
ὥσπερ ῥύστῃ καὶ συνεορτάσωμεν,
τοῖς προπατόρων πνεύμασι,
θαῦμα αὐτοῦ τὸ τεράστιον.

**Καταβασία**. Ὀρθρίσωμεν ὄρθρου βαθέος.

*Εἶτα τό, Χριστὸς ἀνέστη ἐκ γ΄.*
*καὶ τό, Ἀναστὰς ὁ Ἰησοῦς.*
*Ἐκφώνησις· Ὅτι ἡγίασται καὶ δεδόξασται.*

**Ὠιδὴ στ΄. Κατῆλθες ἐν τοῖς κατωτάτοις.**

Κατῆλθες ἐν τοῖς κατωτάτοις τῆς γῆς,
καὶ συνείλκυσας ἀνθρώπων τὸ γένος,
ἐργάτας δὲ φονικῶν λογισμῶν,
διὰ Μάρτυρος τοῦ σεπτοῦ σου Χριστέ,
κενολόγους δεικνύεις.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Φυλάξας τὰ σήμαντρα σῷα Χριστέ,
ἐξηγέρθης τοῦ τάφου,
καὶ πιστοὺς Ἡρακλείου ἀπεγνωσμένους διέσωσας,
τὴν ζωὴν θαυμαστῶς, χαρισάμενος τούτοις.

Σῶτέρ μου, τὸ ζῶν τε καὶ ἄθυτον ἱερεῖον,
ὡς Θεὸς σεαυτὸν δοὺς θυσίαν,
τύπος γέγονας Μάρτυσιν ἅπασιν,
ὥστε δοῦναι ψυχάς, ὑπὲρ φίλων τῇ πίστει.

**Καταβασία.** Κατῆλθες ἐν τοῖς κατωτάτοις.

*Εἶτα τό, Χριστὸς ἀνέστη ἐκ γ'.*
*καὶ τό, Ἀναστὰς ὁ Ἰησοῦς.*
*Ἐκφώνησις· Σὺ γὰρ εἶ ὁ βασιλεὺς τῆς εἰρήνης.*

## Κοντάκιον

Ἦχος δ'. Ὁ ὑψωθείς.

Φιλαδελφίαν ἐνδεικνύμενος Μάρτυς,
τοῖς φιλοχρίστοις Ἡρακλείου ἐν Πάσχᾳ,
σφαγῆς οἰκτρᾶς διέσωσας τῇ θείᾳ σου ὀμφῇ,
τούτους καὶ κατῄσχυνας ἀσεβούντων τὰ στίφη,
ὅθεν σοι προσφέρομεν ὑμνητήριον χάριν,
καὶ ἐκζητοῦμεν ἅγιε Μηνᾶ,
σὴν προστασίαν,
οἱ πόθῳ τιμῶντές σε.

## Ὁ Οἶκος

Τὸ ἑσπέρας κλαυθμὸς αὐλισθήσεται
καὶ χαρᾶς ἡ πρωῒα πλησθήσεται,
κατὰ μέγαν Δαβὶδ θεοπάτορα,
προορῶντα τὰ μέλλοντα γίνεσθαι.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Οὕτω γὰρ τὸ πάλαι οἱ ἐν Ἡρακλείῳ χριστώνυμοι,
τῆς βεβαίας σφαγῆς ἐλυτρώθησαν,
τῇ ὀμφῇ τοῦ Μαρτύρων καυχήματος,
Μηνᾶ λέγω τοῦ θαυματοβρύτορος,
ὃς τὰ τῶν ἀσεβῶν στίφη ὡς καπνὸν διεσκόρπισεν,
καὶ ἀνθ᾽ αἱμάτων ἀδίκων ρεύματα
εὐχαριστίας δακρύων ποταμοὺς τοῖς πιστοῖς προεξένησεν·
τοῦτον οὖν τὸν πανεύφημον ἀθλητὴν
ἡ μεγαλώνυμος πόλις τοῦ Χάνδακος
προστάτην κατέχουσα ἐκ πόθου κράζει·
σύμμορφε τοῦ Ἀναστάντος Ἅγιε,
ἀεὶ ἐξαιτούμεθα τὴν σὴν προστατευτικὴν ἐπιμέλειαν,
ἡμεῖς οἱ πόθῳ τιμῶντές σε.

Τὸ Συναξάριον τῆς ἡμέρας καὶ εἶτα τὸ παρόν

**Τῇ αὐτῇ ἡμέρᾳ, Τρίτῃ τῆς Διακαινησίμου, ἑορτάζομεν τὴν ἀνάμνησιν τοῦ ὑπὸ τοῦ μεγαλομάρτυρος Μηνᾶ γενομένου ὑπερφυοῦς θαύματος, ἤτοι τῆς διασώσεως ἀπὸ τῆς σφαγῆς τῶν εὐλαβῶν Ἡρακλειωτῶν ὑπὸ τῶν ἀσεβῶν ἀγαρηνῶν κατὰ τὸ ἔτος 1826.**

Στίχοι

*Ἐν Ἐρυθρᾷ μὲν Μωσῆς Ἰσραὴλ σῴζει·*
*Μηνᾶς δ᾽ ἐν Ἡρακλείῳ πιστοὺς λυτροῦται.*
*Φασγάνου πικροῦ Ἡρακλειώτας Μηνᾶς ἔσωσεν.*

καὶ τὰ λοιπὰ τοῦ Συναξαριστοῦ

*Ταῖς τῶν σῶν Ἁγίων πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.*

Ἀνάστασιν Χριστοῦ θεασάμενοι, ἐκ γ'.
Ἀναστὰς ὁ Ἰησοῦς, ἐκ γ'.

**Ὠιδὴ ζ'. Ὁ παῖδας ἐκ καμίνου ῥυσάμενος.**

www.tezaurliturgic.ro



Ὁ παῖδας ἐκ καμίνου ῥυσάμενος,
ἐῤῥύσατο προπάτορας,
ὅτε ἐν ναῷ,
Μηνᾶ τοῦ Μάρτυρος αὐτοῦ,
εἰς λατρείαν Θεοῦ συνηθροίσθησαν,
καὶ φόνου ἀγαρηνῶν μισοχρίστων,
ἀῤῥήτως ἐφύλαξεν.

Γυναῖκες μετὰ μύρων θεόφρονες,
Χριστὸν μυρίσαι ἔσπευσαν,
ὃν δὲ ὡς θνητὸν μετὰ δακρύων ἐζήτουν,
προσεκύνησαν χαίρουσαι ζῶντα Θεόν,
ὡς ὧδε πάλαι ἡμῶν,
ἀντὶ θανάτου ζωὴν εὗρον προπάτορες.

Θανάτου ἑορτάζομεν νέκρωσιν,
ᾅδου τὴν καθαίρεσιν,
θαῦμα δὲ Μηνᾶ,
μεγαλομάρτυρος ᾠδαῖς,
καὶ χαρᾷ μνημονεύομεν ἅπαντες,
οἱ πόλιν οἰκοῦντες Ἡρακλείου,
καὶ πρέσβυν τοῦτον πλουτήσαντες.

Ὡς ὄντως ἱερὰ καὶ πανέορτος
γέγονεν ἡ σύναξις,
Ἡρακλειωτῶν,
τῆς σωτηρίου ἡμέρας τὰ μνημόσυνα,
φέρουσα σήμερον,
ἐν ÷Fῆ Μηνᾶς θαυμαστός,
σφαγῆς τῶν ἀγαρηνῶν,
ἀθώους ἔσωσεν.

**Καταβασία.** Ὁ παῖδας ἐκ καμίνου ῥυσάμενος.

*Εἶτα τό, Χριστὸς ἀνέστη ἐκ γ΄.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*καὶ τό, Ἀναστὰς ὁ Ἰησοῦς.*
*Ἐκφώνησις· Εἴη τὸ κράτος.*

**Ὠιδὴ η΄. Αὕτη ἡ κλητή.**

Αὕτη ἡ κλητὴ καὶ ἁγία ἡμέρα,
ἐν ᾗ ἐκ τοῦ μνημείου ὁ Ζωοδότης ἀνέστη,
καὶ Μηνᾶς ὁ κλεινός,
Ἡρακλείῳ φανεὶς λαὸν ἔσωσε,
Χριστοῦ συντιμῶντα,
Ἀνάστασιν τὴν θείαν.

Δεῦτε τοῦ καινοῦ τῆς ἀμπέλου γεννήματος,
μετάσχωμεν ἀξίως,
ἐν τῇ εὐσήμῳ ἡμέρᾳ διασώσεως,
προπατόρων ἡμῶν ὦ φιλόχριστοι,
ὑμνοῦντες Χριστόν,
καὶ Μηνᾶν τὸν ἀθλοφόρον.

Ἆιρον κύκλῳ τοὺς ὀφθαλμοὺς καὶ ἴδε,
Ἡράκλειον σὰ τέκνα ζῶντας καὶ τεθνεῶτας,
ἑορτάζοντα ὁμοῦ τὴν παράδοξον διάσωσιν,
καὶ δόξαν διδόντα,
Χριστῷ τῷ ἀναστάντι.

Πάτερ παντοκράτορ καὶ Λόγε καὶ Πνεῦμα,
Τριὰς προσκυνουμένη
τὴν νῆσον Κρήτης φυλάττοις,
εἰρηνεύουσαν καὶ φυλάττουσαν,
τὴν πίστιν ἣν εἴληφε,
δι᾽ ἧς εὐελπίστως,
Σιὼν τῆς ἄνω τύχοι.

**Καταβασία.** Αἰνοῦμεν, εὐλογοῦμεν...Αὕτη ἡ κλητή.

*Εἶτα τό, Χριστὸς ἀνέστη ἐκ γ΄.*
*καὶ τό, Ἀναστὰς ὁ Ἰησοῦς.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Ἐκφώνησις· Ὅτι ηὐλόγηται καὶ δεδόξασται.*

## Ὠιδὴ θ'. Φωτίζου, φωτίζου.

*Ἡ πόλις Ἡρακλείου ἀγάλλεται καὶ χαίρει,*
*σὲ πολιοῦχον σχοῦσα,*
*Μηνᾶ θαυματοβρῦτα.*
Μηνᾶ ἀθλοφόρε,
τοὺς τῷ ναῷ σου εὐλαβῶς,
συνελθόντας πρὸς μνείαν,
τοῦ μεγίστου θαύματος,
ὃ ἀψευδῶς ἐποιήσω ποτέ,
ῥύου ἡμᾶς τῆς τῶν ἐναντίων,
ἐπιδρομῆς ἀξιύμνητε.

*Ἐν τῷ σεπτῷ ναῷ σου,*
*σὺν τῷ Χριστὸς ἀνέστη,*
*τιμῶμεν χαρμοσύνως,*
*τὴν σὴν θαυματουργίαν.*
Ὢ δόξης ἐνθέουπ
ἧς ἀπολαύεις ἀθλητά,
ἀνθ᾽ ὧν ἔφερες πόνων,
ὑπὲρ τοῦ Κυρίου σου,
χορεύων νῦν μετ᾽ ἀγγέλων Μηνᾶ,
ἅπαντας δὲ τοὺς σὲ ἀνυμνοῦντας,
ἐκ τῶν δεινῶν ἐκλυτρούμενος.

Δόξα.

*Μεγάλυνον ψυχήμου, τῆς τρισυποστάτου,*
*καὶ ἀδιαιρέτου, Θεότητος τὸ κράτος.*
Τὸ Πάσχα τὸ μέγα,
μνήμην ἐπάγει εἰς ἡμᾶς,
τῆς ἐκ σοῦ σωτηρίας,
ἣν μάρτυς ἐλάβομεν,
ἐκ τῆς πικρᾶς λυτρωθέντες σφαγῆς,



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ὅθεν ἐτησίως,
χρεωστικῶς σε γεραίρομεν.

Καὶ νῦν.
*Παρθένε Παναγία, μετὰ τοῦ ἀθλοφόρου,*
*δυσώπει τὸν Υἱόν σου, ὑπὲρ ἡμῶν σῶν δούλων.*
Συμφώνως Παρθένε,
σὲ μακαρίζομεν πιστοί·
χαῖρε πύλη Κυρίου,
χαῖρε πόλις ἔμψυχε·
χαῖρε δι᾽ ἧς ἡμῖν ἔλαμψε,
σήμερον φῶε,
τοῦ ἐκ σοῦ τεχθέντος,
τῆς ἐκ νεκρῶν ἀναστάσεως.

**Καταβασία.** Ὁ ἄγγελος ἐβόα. Φωτίζου, φωτίζου.

*Εἶτα τό, Χριστὸς ἀνέστη ἐκ γ᾽.*
*καὶ τό, Ἀναστὰς ὁ Ἰησοῦς.*
*Ἐκφώνησις· Ὅτι σὲ αἰνοῦσιν.*

**Ἐξαποστειλάριον,**
πρῶτον τὸ ἀναστάσιμον, Σαρκὶ ὑπνώσας...

εἶτα τοῦ θαύματος, ὅμοιον·

Σωτὴρ ἐφάνης ἀληθῶς,
Κρῆτας πολλοὺς ῥυσάμενος,
ἐκ τοῦ βιαίου θανάτου,
ἐντὸς τοῦ θείου σου ναοῦ,
Μηνᾶ μαρτύρων καύχημα,
διό σε πίστει τιμῶμεν,
οἱ διὰ σοῦ λυτρωθέντες.

καὶ αὖθις· Σαρκὶ ὑπνώσας...



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

**ΕΙΣ ΤΟΥ ΑΙΝΟΥΣ**

*Ψάλλομεν στιχηρὰ ἀναστάσιμα τοῦ β' ἤχου δ'*
*καὶ τοῦ Ἁγίου Μηνᾶ τὰ ἀκόλουθα δ' προσόμοια, ὧν τὸ δ'νεοσύνθετον.*

Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.

Τὸ πανσεβάσμιον Πάσχα,
ὁ τοῦ Κυρίου λαός,
φαιδρῶς πανηγυρίζει,
τῇ παρούσῃ ἡμέρα·
ἡμεῖς δὲ τῇ παγκοίνῳ αὐτῇ ἑορτῇ,
τὴν ἔνδοξόν σου πανήγυριν,
συνεορτάζομεν πόθῳ μάρτυς Μηνᾶ,
ὡς ῥυσθέντες διὰ σοῦ τῆς σφαγῆς.

Τοὺς τῷ πανσέπτῳ ναῷ σου,
συναθροισθέντας πιστῶς,
διάσωζε πολύτλα,
ἐκ παντοίων κινδύνων,
καὶ γὰρ τοῦ Ἡρακλείου πόλις ἀεί,
ἐπὶ σοὶ ἐναβρύνεται,
ὡς πολιοῦχον σε σχοῦσα καὶ πρὸς Θεόν,
πρεσβευτὴν Μηνᾶ ἀκοίμητον.

Ἐνιαυσίως τελοῦμεν,
χρεωστικὴν ἑορτήν,
τῆς σῆς θαυματουργίας,
Μηνᾶ μάρτυς Κυρίου,
καὶ γὰρ τοῖς ἐχθροῖς ὤφθης ἐφ᾽ ἵππου λευκοῦ,
ἐκφοβῶν καὶ διώκων αὐτούς·
καὶ τοὺς πιστοὺς ἐλυτρώσω τῆς κατ᾽ αὐτῶν,

χαλκευθείσης παρανόμου σφαγῆς.

Τὴν Κρήτην φυλάττοις,
Μηνᾶ πανθαύμαστε,
ἀπὸ παντὸς κινδύνου,
καὶ ἀνάγκης τοῦ βίου·
εὐλόγει δὲ τοὺς ὧδε φιλευσεβεῖς,
καὶ τὴν πόλιν Ἡράκλειον,
δεῖξον πλουτοῦσαν ἐν πίστει τῇ πατρικῇ,
ἣν ἐν αἵμασι παρέλαβε.

Εἶτα τὰ στιχηρὰ τοῦ Πάσχα· Πάσχα ἱερόν...

**Δόξα. Ἦχος πλ.α'.**

Αὕτη ἐστὶν ἀληθῶς, ἡ προφητόφθεγκτος καὶ ἁγία ἡμέρα,
ἣν ἐποίησεν ὁ Κύριος πρὸς εὐφροσύνην τῶν πιστῶν.
Δεῦτε λοιπὸν ἀδελφοί, περιπτυχθῶμεν χαρμοσύνως,
συμπανηγυρίζοντες τῇ βασιλίδι τῶν ἑορτῶν,
ἑτέραν ἑορτὴν σεβασμίαν,
τῆς ἐφ᾽ ἡμᾶς θαυματουργίας τοῦ ἡμετέρου προστάτου καὶ πολιούχου Μηνᾶ.
Ἐθαυμαστώθη γὰρ ὁ Θεὸς ἐπὶ τῷ ἀθλοφόρῳ,
καὶ μεθ᾽ ἡμῶν ἔσεται ἕως τῆς συντελείας,
ὥσπερ τοῖς πεπιστευκόσιν ἐπηγγείλατο.

Καὶ νῦν. Ἀναστάσεως ἡμέρα.

**Μεγαλυνάρια, νεοσύνθετα.**

Χαίροις Ἡρακλείου πόλις κλεινή,
σχοῦσα ἀθλοφόρον,
τοῦ Κυρίου προασπιστήν,
Μηνᾶν τὸν γενναῖον,
καὶ μέγαν ἐν κινδύνοις,
ὃς ἐκ σφαγῆς ἀθέων,
προγόνους ἔσωσεν.

῾Ως σφαγῆς ἐῤῥύσω τοὺς εὐσεβεῖς,
ῥύου θεῖε Μάρτυς,
ἐκ τοῦ ξίφους τοῦ πονηροῦ,
τοὺς ἐν τῷ ναῷ σου,
προστρέχοντας ἐν πίστει,
καὶ δίδου τούτοις χάριν,
τοῦ Θείου Πνεύματος.

Στίχοι

*Σῴζοις, Μηνᾶ, τὴν πόλιν Ἡρακλείου*
*ἥτις ἀπαύστως εὐγνωμονεῖ σε ὕμνοις.*



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ